## III

πρῶτα μοι Γαδάρων κλεινὰ πόλις ἔπλετο πάτρα,
ἤνδρωσεν δ' ἱερὰ δεξαμένα με Τύρος·
εἰς γῆρας δ' ὅτ' ἔβην, ⟨ἁ⟩ καὶ Δία θρεψαμένα Κῶς
κἀμὲ θετὸν Μερόπων ἀστὸν ἐγηροτρόφει·
Μοῦσαι δ' εἰν ὀλίγοις με τὸν Εὐκράτεω Μελέαγρον
παῖδα Μενιππείοις ἠγλάισαν Χάρισιν.

## IV

ἀτρέμας, ὦ ξένε, βαῖνε· παρ' εὐσεβέσιν γὰρ ὁ πρέσβυς
εὕδει κοιμηθεὶς ὕπνον ὀφειλόμενον
Εὐκράτεω Μελέαγρος, ὁ τὸν γλυκύδακρυν Ἔρωτα
καὶ Μούσας ἱλαραῖς συστολίσας χάρισιν·
ὃν θεόπαις ἤνδρωσε Τύρος Γαδάρων θ' ἱερὰ χθών,
Κῶς δ' ἐρατὴ Μερόπων πρέσβυν ἐγηροτρόφει.
ἀλλ' εἰ μὲν Σύρος ἐσσί, σαλάμ· εἰ δ' οὖν σύ γε Φοῖνιξ,
ναίδιος· εἰ δ' Ἕλλην, χαῖρε· τὸ δ' αὐτὸ φράσεις.

## V

πτανέ, τί σοὶ σιβύνας, τί δὲ καὶ συὸς εὔαδε δέρμα,
καὶ τίς ἐὼν στάλας σύμβολόν ἐσσι τίνος;
οὐ γὰρ Ἔρωτ' ἐνέπω σε· τί γάρ, νεκύεσσι πάροικος
Ἵμερος; αἰάζειν ὁ θρασὺς οὐκ ἔμαθεν·
οὐδὲ μὲν οὐδ' αὐτὸν ταχύπουν Χρόνον· ἔμπαλι γὰρ δή
κεῖνος μὲν τριγέρων, σοὶ δὲ τέθηλε μέλη.